and in-sum to-express (the)-fruit all-perfect of-the Father
ὑπάρχει, καὶ μόνος ἐστὶν Υἱὸς, εἰκὼν ἀπαράλλακτος
he-is and alone is (the)-Son (the)-image unvarying
τοῦ Πατρός.
of-the Father

47 Τίς οὖν ἂν, τίς ἐξαριθμήσειε τὸν Πατέρα, ἵνα καὶ τοῦ
who then — who could-number the Father that also of-the
Λόγου τούτου τὰς δυνάμεις ἐξεύροι; Ἔστι γὰρ ὥσπερ
Word his the powers he-might-find he-is for as
τοῦ Πατρὸς Λόγος καὶ σοφία, οὕτω καὶ τοῖς γενητοῖς
of-the Father Word and wisdom thus also to-the originated(-things)
συγκαταβαίνων, γίνεται πρὸς τὴν τοῦ γενήτορος γνῶσιν
condescending he-becomes for the of-the begetter knowledge
καὶ ἔννοιαν αὐτοαγιασμὸς καὶ αὐτοζωὴ καὶ θύρα, καὶ
and notion very-sanctification and very-life and door and

ποιμὴν, καὶ ὁδὸς, καὶ βασιλεὺς, καὶ ἡγεμὼν, καὶ ἐπὶ
shepherd and way and king and leader and over
πᾶσι σωτὴρ, καὶ ζωοποιὸς καὶ φῶς, καὶ πρόνοια τῶν
all savior and life-giver and light and providence of-the
πάντων. Τοιοῦτον ἄρα ἀγαθὸν καὶ δημιουργὸν Υἱὸν ἔχων
all such then good and creator Son having
ἐξ ἑαυτοῦ ὁ Πατὴρ, οὐκ ἀφανῆ αὐτὸν τοῖς γενητοῖς
from himself the Father not invisible him to-the originated(-things)
ἀπέκρυψεν· ἀλλὰ καὶ ὁσημέραι τοῦτον ἀποκαλύπτει τοῖς
he-hid but even daily this(-one) he-reveals to-the
πᾶσι διὰ τῆς τῶν πάντων δι᾽ αὐτοῦ συστάσεως
all through the of-the all through him constitution
καὶ ζωῆς. Ἐν αὐτῷ δὲ καὶ δι᾽ αὐτοῦ, καὶ ἑαυτὸν
and life in him but and through him also himself
ἐμφαίνει, καθὼς ὁ Σωτήρ φησιν· Ἐγὼ ἐν τῷ Πατρὶ
he-shows as the Savior says I in the Father
καὶ ὁ Πατὴρ ἐν ἐμοί· ὥστε ἐξ ἀνάγκης εἶναι τὸν
and the Father in me so-that of necessity to-be the
Λόγον ἐν τῷ γεννήσαντι, καὶ τὸν γεννηθέντα σὺν
Word in the(-one) having-begotten and the(-one) begotten with
τῷ Πατρὶ διαιωνίζειν. Τούτων δὲ οὕτως ἐχόντων, καὶ
the Father to-endure-eternally these and thus being and
οὐδενὸς ἔξωθεν αὐτοῦ τυγχάνοντος, ἀλλὰ καὶ οὐρανοῦ
nothing outside him being but even of-heaven
καὶ γῆς, καὶ πάντων τῶν ἐν αὐτοῖς ἐξηρτημένων
and of-earth and of-all the(-things) in them depending
αὐτοῦ, ὅμως ἄνθρωποι παράφρονες, παραγκωνισάμενοι
on-him nevertheless men senseless having-elbowed-aside
τὴν πρὸς τοῦτον γνῶσιν καὶ εὐσέβειαν, τὰ οὐκ ὄντα
the toward him knowledge and piety the not being(-things)
πρὸ τῶν ὄντων ἐτίμησαν· καὶ ἀντὶ τοῦ ὄντως ὄντος
before the being(-things) honored and instead-of the really being

Θεοῦ, τὰ μὴ ὄντα ἐθεοποίησαν, Τῇ κτίσει παρὰ
God the not being(-things) deified the creation beside
τὸν κτίσαντα λατρεύοντες, πρᾶγμα πάσχοντες ἀνόητον
the creator serving (a)-thing suffering foolish
καὶ δυσσεβές. Ὅμοιον γὰρ εἴ τις τὰ ἔργα πρὸ τοῦ
and impious (it-is)-like for if one the works before the
τεχνίτου θαυμάσειε, καὶ τὰ ἐν τῇ πόλει δημιουργήματα
craftsman should-admire and the in the city works
καταπλαγεὶς, τὸν τούτων δημιουργὸν καταπατοίη· ἢ
being-amazed the their creator should-trample or
ὡς εἴ τις τὸ μὲν μουσικὸν ὄργανον ἐπαινοίη, τὸν
as if one the indeed musical instrument should-praise the(-one)
δὲ συνθέντα καὶ ἁρμοσάμενον ἐκβάλλοι. Ἄφρονες
but having-composed(-it) and having-tuned(-it) should-cast-out senseless
καὶ πολὺ τὸν ὀφθαλμὸν πεπηρωμένοι! Πῶς γὰρ ἂν
and much in-the eye maimed how for —
ἔγνωσαν ἄλλως οἰκοδομὴν, ἢ ναῦν, ἢ λύραν, μὴ
would-they-have-known otherwise (a)-building or (a)-ship or (a)-lyre not
οὐχὶ τοῦ ναυπηγοῦ ἐργασαμένου, καὶ τοῦ ἀρχιτέκτονος
— the shipwright having-wrought(-it) and the architect
οἰκοδομήσαντος, καὶ τοῦ μουσικοῦ συνθέντος; Ὥσπερ
having-built(-it) and the musician having-composed(-it) as
οὖν ὁ ταῦτα λογιζόμενος μαίνεται καὶ ὑπερεπέκεινα
then the(-one) these(-things) reasoning raves and beyond
πάσης μανίας ἐστὶν, οὕτως οὔ μοι δοκοῦσιν ὑγιαίνειν
all madness is thus not to-me they-seem to-be-sound
τὴν διάνοιαν οἱ τὸν Θεὸν μὴ ἐπιγινώσκοντες, καὶ τὸν
in-the understanding those — God not recognizing and the
τούτου Λόγον μὴ θρησκεύοντες, τὸν Σωτῆρα τῶν πάντων
his Word not worshiping the Savior of-the all
τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δι' οὗ τὰ πάντα
the Lord our Jesus Christ through whom the all(-things)

ὁ Πατὴρ διακοσμεῖ, καὶ συνέχει, καὶ προνοεῖται τῶν
the Father orders and holds-together and provides-for the
ὅλων· εἰς ὃν σὺ τὴν πίστιν ἔχων καὶ τὸ θεοσεβὲς, ὦ
whole in whom you the faith having and the godliness O
φιλόχριστε, χαῖρε καὶ εὔελπις γίνου, ὅτι τῆς εἰς αὐτὸν
Christ-lover rejoice and of-good-hope be because of-the toward him
πίστεως καὶ εὐσεβείας ἀθανασία καὶ βασιλεία οὐρανῶν
faith and piety immortality and (the)-kingdom of-heaven
ἐστιν ὁ καρπὸς, μόνον ἐὰν κατὰ τοὺς αὐτοῦ νόμους
is the fruit only if according-to the his laws
ἡ ψυχὴ κεκοσμημένη γένηται. Ὥσπερ γὰρ τοῖς κατ᾽
the soul adorned become as for to-those according-to
αὐτὸν πολιτευομένοις ἐστὶ τὸ ἔπαθλον ζωὴ αἰώνιος, οὕτω
him living is the prize life eternal thus
τοῖς τὴν ἐναντίαν καὶ μὴ τὴν τῆς ἀρετῆς ἀτραπὸν
to-those the contrary and not the of-the virtue path
ὁδεύουσιν αἰσχύνη μεγάλη καὶ κίνδυνος ἀσύγγνωστος ἐν
traveling (is)-shame great and danger unpardonable on
ἡμέρᾳ κρίσεως, ὅτι, καίτοι γνόντες τὴν τῆς ἀληθείας
(the)-day of-judgment because although having-known the of-the truth
ὁδὸν, ἐναντία ὧν ἔγνωσαν ἔπραξαν.
road contrary(-things) to-what they-knew they-did

ATHANASIUS

ΛΟΓΟΣ ΠΕΡΙ ΤΗΣ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ ΤΟΥ ΛΟΓΟΥ

On the Incarnation

Having treated idolatry, Athanasius turns to the Word's becoming man, which Jews slander and Greeks mock but Christians worship. Its seeming lowliness proves his divinity, since he does what men call impossible and unfitting. Bodiless by nature, the Word took a body out of love, for our salvation; so creation comes first, since the Word who made the world renews it.

ΑΥΤΑΡΚΩΣ ἐν τοῖς πρὸ τούτων ἐκ πολλῶν ὀλίγα 1
sufficiently in the(-things) before these from many a-few(-things)
διαλαβόντες, περὶ τῆς τῶν ἐθνῶν περὶ τὰ εἴδωλα πλάνης,
having-treated about the of-the nations about the idols error
καὶ τῆς τούτων δεισιδαιμονίας, πῶς ἐξ ἀρχῆς τούτων
and the of-these superstition how from (the)-beginning of-these
γέγονεν ἡ εὕρεσις, ὅτι ἐκ κακίας οἱ ἄνθρωποι ἑαυτοῖς
has-come-about the invention that from wickedness the men for-themselves
τὴν πρὸς τὰ εἴδωλα θρησκείαν ἐπενόησαν· ἀλλὰ γὰρ
the toward the idols worship devised but for
χάριτι Θεοῦ σημάναντες ὀλίγα καὶ περὶ τῆς θειότητος
by-(the)-grace of-God having-indicated a-few(-things) also about the divinity
τοῦ Λόγου τοῦ Πατρὸς, καὶ τῆς εἰς πάντα προνοίας καὶ
of-the Word of-the Father and the toward all(-things) providence and
δυνάμεως αὐτοῦ· καὶ ὅτι ὁ ἀγαθὸς Πατὴρ τούτῳ τὰ
power his and that the good Father through-this-one the
πάντα διακοσμεῖ, καὶ τὰ πάντα ὑπ' αὐτοῦ κινεῖται, καὶ
all(-things) orders and the all(-things) by him are-moved and
ἐν αὐτῷ ζωοποιεῖται· φέρε κατὰ ἀκολουθίαν, Μακάριε
in him are-quickened come according-to sequence Blessed-one
καὶ ἀληθῶς φιλόχριστε, τῇ περὶ τῆς εὐσεβείας πίστει, καὶ
and truly Christ-loving in-the about the piety faith also
τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου διηγησώμεθα,
the(-things) about the becoming-man of-the Word let-us-relate

καὶ περὶ τῆς θείας αὐτοῦ πρὸς ἡμᾶς ἐπιφανείας δηλώσωμεν·
and about the divine his toward us appearing let-us-declare
ἣν Ἰουδαῖοι μὲν διαβάλλουσιν, Ἕλληνες δὲ χλευάζουσιν,
which Jews indeed slander Greeks and mock
ἡμεῖς δὲ προσκυνοῦμεν· ἵν' ἔτι μᾶλλον ἐκ τῆς δοκούσης
we and worship that yet more from the seeming
εὐτελείας τοῦ Λόγου, μείζονα καὶ πλείονα τὴν εἰς αὐτὸν
lowliness of-the Word greater and more the toward him
εὐσέβειαν ἔχῃς. Ὅσῳ γὰρ παρὰ τοῖς ἀπίστοις
piety you-may-have by-as-much-as for among the unbelievers
χλευάζεται, τοσούτῳ μείζονα τὴν περὶ τῆς θεότητος αὐτοῦ
he-is-mocked by-so-much greater the about the deity his
μαρτυρίαν παρέχει· ὅτι τε ἃ μὴ καταλαμβάνουσιν
testimony he-provides because both what(-things) not comprehend
ἄνθρωποι ὡς ἀδύνατα, ταῦτα αὐτὸς ἐπιδείκνυται δυνατά·
men as impossible these he-himself shows-forth (as)-possible
καὶ ἃ ὡς ἀπρεπῆ χλευάζουσιν ἄνθρωποι, ταῦτα
and what(-things) as unfitting mock men these
αὐτὸς τῇ ἑαυτοῦ ἀγαθότητι εὐπρεπῆ κατασκευάζει· καὶ
he-himself by-the his-own goodness fitting renders and
ἃ σοφιζόμενοι οἱ ἄνθρωποι ὡς ἀνθρώπινα γελῶσι,
what(-things) being-clever the men as human laugh-at
ταῦτα αὐτὸς τῇ αὐτοῦ δυνάμει θεῖα ἐπιδείκνυται, τὴν μὲν
these he-himself by-the his power divine shows-forth the indeed
τῶν εἰδώλων φαντασίαν τῇ νομιζομένῃ ἑαυτοῦ εὐτελείᾳ
of-the idols illusion by-the supposed his-own lowliness
διὰ τοῦ σταυροῦ καταστρέφων, τοὺς δὲ χλευάζοντας
through the cross overturning those and mocking
καὶ ἀπιστοῦντας μεταπείθων ἀφανῶς ὥστε τὴν θειότητα
and disbelieving winning-over invisibly so-that the divinity
αὐτοῦ καὶ δύναμιν ἐπιγινώσκειν. Εἰς δὲ τὴν περὶ τούτων
his and power to-recognize for and the about these(-things)

διήγησιν, χρεία τῆς τῶν προειρημένων μνήμης· ἵνα
account (there-is)-need of-the of-the aforesaid(-things) remembrance that
καὶ τὴν αἰτίαν τῆς ἐν σώματι φανερώσεως τοῦ τοσούτου
both the cause of-the in (a)-body manifestation of-the so-great
καὶ τηλικούτου Πατρικοῦ Λόγου γνῶναι δυνηθῇς, καὶ
and so-mighty Paternal Word to-know you-may-be-able and
μὴ νομίσῃς, ὅτι φύσεως ἀκολουθίᾳ σῶμα πεφόρεκεν ὁ
not you-may-think that of-nature by-sequence (a)-body has-worn the
Σωτήρ· ἀλλ' ὅτι ἀσώματος ὢν τῇ φύσει, καὶ Λόγος
Savior but that bodiless being by-the nature and Word
ὑπάρχων, ὅμως κατὰ φιλανθρωπίαν καὶ ἀγαθότητα τοῦ
being nevertheless according-to love-for-man and goodness of-the
ἑαυτοῦ Πατρὸς, διὰ τὴν ἡμῶν σωτηρίαν, ἐν ἀνθρωπίνῳ
his-own Father because-of the our salvation in (a)-human
σώματι ἡμῖν πεφανέρωται. Πρέπει δὲ ποιουμένους ἡμᾶς
body to-us he-has-been-manifested it-befits and making us
τὴν περὶ τούτου διήγησιν, πρότερον περὶ τῆς τῶν ὅλων
the about this account first about the of-the whole
κτίσεως, καὶ τοῦ ταύτης δημιουργοῦ Θεοῦ εἰπεῖν, ἵνα
creation and the of-it creator God to-speak that
οὕτως καὶ τὴν ταύτης ἀνακαίνισιν ὑπὸ τοῦ κατὰ τὴν
thus also the of-it renewal by the in the
ἀρχὴν αὐτὴν δημιουργήσαντος Λόγου γεγενῆσθαι ἀξίως
beginning it having-created Word to-have-come-about fittingly
ἄν τις θεωρήσειεν· οὐδὲν γὰρ ἐναντίον φανήσεται, εἰ δι'
— one might-consider nothing for contrary will-appear if through
οὗ ταύτην ἐδημιούργησεν ὁ Πατὴρ, ἐν αὐτῷ καὶ τὴν
whom it created the Father in him also the
ταύτης σωτηρίαν εἰργάσατο.
of-it salvation he-wrought

Against the Epicureans, who say the world came by chance, Plato, who posits matter already there, and heretics who imagine another creator, Scripture teaches that God made all things from nothing through his Word. Out of goodness he made men in his image, sharing his Word with them so that they might remain in bliss, and secured the gift by a law: if they sinned, they would die and stay in corruption.

2 Τὴν δημιουργίαν τοῦ κόσμου καὶ τὴν τῶν πάντων κτίσιν
the creation of-the world and the of-the all(-things) making
πολλοὶ διαφόρως ἐξειλήφασι, καὶ ὡς ἕκαστος ἠθέλησεν,
many variously have-understood and as each wished
οὕτως καὶ ὡρίσατο. Οἱ μὲν γὰρ αὐτομάτως, καὶ ὡς
thus also defined(-it) some indeed for spontaneously and as
ἔτυχε, τὰ πάντα γεγενῆσθαι λέγουσιν, ὡς οἱ Ἐπικούριοι,
it-chanced the all(-things) to-have-come-to-be say as the Epicureans
οἳ καὶ τὴν τῶν ὅλων πρόνοιαν καθ' ἑαυτῶν οὐκ εἶναι
who also the of-the whole providence against themselves not to-be
μυθολογοῦσιν, ἄντικρυς παρὰ τὰ ἐναργῆ καὶ φαινόμενα
tell-myths outright against the evident and apparent(-things)
λέγοντες. Εἰ γὰρ αὐτομάτως τὰ πάντα χωρὶς προνοίας
saying if for spontaneously the all(-things) without providence
κατ' αὐτοὺς γέγονεν, ἔδει τὰ πάντα
according-to them have-come-to-be it-would-be-needful-for the all(-things)
ἁπλῶς γεγενῆσθαι, καὶ ὅμοια εἶναι, καὶ μὴ διάφορα. Ὡς
simply to-have-come-to-be and alike to-be and not different as
γὰρ ἐπὶ σώματος ἑνὸς ἔδει τὰ πάντα εἶναι
for regarding (a)-body one it-would-be-needful-for the all(-things) to-be
ἥλιον ἢ σελήνην· καὶ ἐπὶ τῶν ἀνθρώπων ἔδει
sun or moon and regarding the men it-would-be-needful-for
τὸ ὅλον εἶναι χεῖρα, ἢ ὀφθαλμὸν, ἢ πόδα. Νῦν δὲ οὐκ
the whole to-be hand or eye or foot now but not

ἔστι μὲν οὕτως· ὁρῶμεν δὲ τὸ μὲν, ἥλιον· τὸ δὲ,
it-is indeed thus we-see but the(-one) indeed sun the(-other) and
σελήνην· τὸ δὲ, γῆν· καὶ πάλιν ἐπὶ τῶν ἀνθρωπίνων
moon the(-other) and earth and again regarding the human
σωμάτων, τὸ μὲν, πόδα· τὸ δὲ, χεῖρα· τό δὲ,
bodies the(-one) indeed foot the(-other) and hand the(-other) and
κεφαλήν. ἡ δὲ τοιαύτη διάταξις, οὐκ αὐτομάτως αὐτὰ
head the but such arrangement not spontaneously them
γεγενῆσθαι γνωρίζει, ἀλλ' αἰτίαν τούτων προηγεῖσθαι
to-have-come-to-be makes-known but (a)-cause of-these to-precede
δείκνυσιν· ἀφ' ἧς καὶ τὸν διαταξάμενον καὶ πάντα
shows from which also the having-arranged and all(-things)
ποιήσαντα Θεόν ἐστι νοεῖν. Ἄλλοι δὲ, ἐν οἷς ἐστὶ καὶ
having-made God it-is to-conceive others and among whom is also
ὁ μέγας παρ' Ἕλλησι Πλάτων, ἐκ προϋποκειμένης καὶ
the great among Greeks Plato from pre-existing and
ἀγενήτου ὕλης πεποιηκέναι τὸν Θεὸν τὰ ὅλα διηγοῦνται·
unoriginate matter to-have-made — God the whole relate
μὴ ἂν γὰρ δύνασθαί τι ποιῆσαι τὸν Θεὸν εἰ μὴ
not — for to-be-able anything to-make — God if not
προϋπέκειτο ἡ ὕλη· ὥσπερ καὶ τῷ τέκτονι προϋποκεῖσθαι
pre-existed the matter as also for-the carpenter to-pre-exist
δεῖ τὸ ξύλον, ἵνα καὶ ἐργάσασθαι δυνηθῇ. Οὐκ ἴσασι
must the wood that also to-work he-may-be-able not they-know
δὲ τοῦτο λέγοντες, ὅτι ἀσθένειαν περιτιθέασι τῷ Θεῷ·
but this saying that weakness they-attribute — to-God
εἰ γὰρ οὐκ ἔστι τῆς ὕλης αὐτὸς αἴτιος, ἀλλ' ὅλως
if for not is of-the matter he-himself (the)-cause but wholly
ἐξ ὑποκειμένης ὕλης ποιεῖ τὰ ὄντα, ἀσθενὴς εὑρίσκεται,
from underlying matter he-makes the beings weak he-is-found
μὴ δυνάμενος ἄνευ τῆς ὕλης ἐργάσασθαί τι τῶν
not being-able without the matter to-work anything of-the

γενομένων· ὥσπερ ἀμέλει καὶ τοῦ τέκτονος ἀσθένειά ἐστι,
made(-things) as indeed also of-the carpenter weakness it-is
τὸ μὴ δύνασθαι χωρὶς τῶν ξύλων ἐργάσασθαί τι τῶν
the not to-be-able without the timbers to-work anything of-the
ἀναγκαίων. καὶ καθ' ὑπόθεσιν γὰρ εἰ μὴ ἦν ἡ ὕλη, οὐκ
needful(-things) and by supposition for if not was the matter not
ἂν εἰργάσατό τι ὁ Θεός. καὶ πῶς ἔτι ποιητὴς καὶ
— would-have-wrought anything — God and how still maker and
δημιουργὸς ἂν λεχθείη ἐξ ἑτέρου τὸ ποιεῖν ἐσχηκὼς,
creator — would-he-be-called from another the to-make having-got
λέγω δὴ ἐκ τῆς ὕλης; ἔσται δὲ, εἰ οὕτως ἔχει, κατ'
I-mean indeed from the matter he-will-be and if thus it-is according-to
αὐτοὺς ὁ Θεὸς τεχνίτης μόνον καὶ οὐ κτιστὴς εἰς τὸ
them — God (a)-craftsman only and not creator unto the
εἶναι, εἴ γε τὴν ὑποκειμένην ὕλην ἐργάζεται, τῆς δὲ
to-be if at-least the underlying matter he-works the but
ὕλης οὐκ ἔστιν αὐτὸς αἴτιος. καθόλου γὰρ οὐδὲ κτιστὴς
matter not is he-himself (the)-cause at-all for not-even creator
ἂν λεχθείη, εἴ γε μὴ κτίζει τὴν ὕλην, ἐξ ἧς
— he-would-be-called if at-least not he-creates the matter from which
καὶ τὰ κτισθέντα γέγονεν. Οἱ δὲ ἀπὸ τῶν αἱρέσεων
also the created(-things) have-come-to-be those and from the heresies
ἄλλον ἑαυτοῖς ἀναπλάττονται δημιουργὸν τῶν πάντων
another for-themselves fashion creator of-the all(-things)
παρὰ τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
beside the Father of-the Lord our Jesus Christ
τυφλώττοντες μέγα καὶ περὶ ἃ φθέγγονται. Τοῦ γὰρ
being-blind greatly also about what(-things) they-utter the for
Κυρίου λέγοντος πρὸς τοὺς Ἰουδαίους· "οὐκ ἀνέγνωτε, ὅτι
Lord saying to the Jews not have-you-read that
ἀπ' ἀρχῆς ὁ κτίσας ἄρσεν καὶ θῆλυ ἐποίησεν
from (the)-beginning the(-one) having-created male and female made

αὐτούς; καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος
them and said for-the-sake-of this shall-leave (a)-man
τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται
the father and the mother his and shall-be-joined
τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν·"
to-the wife his and shall-be the two into flesh one
εἶτα σημαίνων τὸν κτίσαντά φησιν· "ὃ οὖν ὁ Θεὸς
then signifying the(-one) having-created he-says what then — God
συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω·" πῶς οὗτοι ξένην τοῦ
yoked-together man not let-separate how these alien to-the
Πατρὸς τὴν κτίσιν εἰσάγουσιν; Εἰ δὲ κατὰ τὸν Ἰωάννην
Father the creation introduce if and according-to — John
πάντα περιλαβόντα καὶ λέγοντα· "πάντα δι' αὐτοῦ
all(-things) having-embraced and saying all(-things) through him
ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν," πῶς ἂν
came-to-be and without him came-to-be not-even one(-thing) how —
ἄλλος εἴη ὁ δημιουργὸς, παρὰ τὸν Πατέρα τοῦ Χριστοῦ;
another would-be the creator beside the Father — of-Christ
Ταῦτα μὲν οὗτοι μυθολογοῦσιν· ἡ δὲ ἔνθεος διδασκαλία 3
these(-things) indeed these fable the but inspired teaching
καὶ ἡ κατὰ Χριστὸν πίστις τὴν μὲν τούτων ματαιολογίαν
and the according-to Christ faith the indeed of-these vain-talk
ὡς ἀθεότητα διαβάλλει. Οὔτε γὰρ αὐτομάτως, διὰ
as godlessness denounces neither for spontaneously because-of
τὸ μὴ ἀπρονόητα εἶναι, οὔτε ἐκ προϋποκειμένης ὕλης,
the not without-providence to-be nor from pre-existing matter
διὰ τὸ μὴ ἀσθενῆ εἶναι τὸν Θεόν· ἀλλ' ἐξ οὐκ
because-of the not weak to-be — God but from not
ὄντων καὶ μηδαμῇ μηδαμῶς ὑπάρχοντα τὰ ὅλα εἰς τὸ
being(-things) and nowhere in-no-way existing the whole into the
εἶναι πεποιηκέναι τὸν Θεὸν διὰ τοῦ Λόγου οἶδεν, ᾗ φησὶ
to-be to-have-made — God through the Word it-knows as it-says

διὰ μὲν Μωϋσέως· "Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς
through indeed Moses in (the)-beginning made — God
τὸν οὐρανὸν καὶ τὴν γῆν·" διὰ δὲ τῆς ὠφελιμωτάτης
the heaven and the earth through and the most-profitable
βίβλου τοῦ Ποιμένος· "πρῶτον πάντων πίστευσον, ὅτι εἷς
book of-the Shepherd first of-all believe that one
ἐστὶν ὁ Θεός, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας,
is — God the(-one) the all(-things) having-created and having-framed
καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι." Ὅπερ καὶ
and having-made from the not being into the to-be which also
ὁ Παῦλος σημαίνων φησί· "Πίστει νοοῦμεν κατηρτίσθαι
— Paul signifying says by-faith we-understand to-have-been-framed
τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων
the ages by-(the)-word of-God unto the not from appearing(-things)
τὰ βλεπόμενα γεγονέναι." Ὁ Θεὸς γὰρ ἀγαθός ἐστι,
the seen(-things) to-have-come-to-be — God for good is
μᾶλλον δὲ πηγὴ τῆς ἀγαθότητος ὑπάρχει· ἀγαθῷ δὲ
rather and (the)-spring of-the goodness he-is to-(the)-good and
περὶ οὐδενὸς ἂν γένοιτο φθόνος· ὅθεν οὐδενὶ τοῦ εἶναι
about nothing — would-arise envy whence to-nothing the to-be
φθονήσας, ἐξ οὐκ ὄντων τὰ πάντα πεποίηκε διά τοῦ
having-grudged from not being(-things) the all(-things) he-has-made through the
ἰδίου Λόγου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐν οἷς
own Word the Lord our Jesus Christ among which
πρὸ πάντων τῶν ἐπὶ γῆς τὸ ἀνθρώπων γένος ἐλεήσας,
before all the(-things) on earth the of-men race having-pitied
καὶ θεωρήσας ὡς οὐχ ἱκανὸν εἴη κατὰ τὸν τῆς ἰδίας
and having-perceived that not able it-was according-to the of-the own
γενέσεως λόγον διαμένειν ἀεὶ, πλέον τι χαριζόμενος
origin principle to-remain always more something granting
αὐτοῖς, οὐχ ἁπλῶς, ὥσπερ πάντα τὰ ἐπὶ γῆς ἄλογα
them not simply as all the on earth irrational

ζῶα, ἔκτισε τοὺς ἀνθρώπους· ἀλλὰ κατὰ τὴν ἑαυτοῦ
animals he-created the men but according-to the his-own
εἰκόνα ἐποίησεν αὐτοὺς, μεταδοὺς αὐτοῖς καὶ τῆς τοῦ
image made them having-given-a-share to-them also of-the of-the
ἰδίου Λόγου δυνάμεως, ἵνα ὥσπερ σκιάς τινας ἔχοντες
own Word power that as shadows certain having
τοῦ Λόγου καὶ γενόμενοι λογικοὶ διαμένειν ἐν μακαριότητι
of-the Word and having-become rational to-abide in blessedness
δυνηθῶσι, ζῶντες τὸν ἀληθινὸν καὶ ὄντως τῶν ἁγίων
they-might-be-able living the true and really of-the saints
ἐν παραδείσῳ βίον. Εἰδὼς δὲ πάλιν τὴν ἀνθρώπων
in paradise life knowing but again the of-men
εἰς ἀμφότερα νεύειν δυναμένην προαίρεσιν, προλαβὼν
toward both(-ways) to-incline able will having-anticipated
ἠσφαλίσατο νόμῳ καὶ τόπῳ τὴν δοθεῖσαν αὐτοῖς
he-secured by-(a)-law and by-(a)-place the given to-them
χάριν. εἰς τὸν ἑαυτοῦ γὰρ παράδεισον αὐτοὺς εἰσαγαγὼν,
grace into the his-own for paradise them having-brought
ἔδωκεν αὐτοῖς νόμον· ἵνα εἰ μὲν φυλάξοιεν τὴν χάριν,
gave to-them (a)-law that if indeed they-should-keep the grace
καὶ μένοιεν καλοὶ, ἔχωσι τὴν ἐν παραδείσῳ ἄλυπον
and should-remain good they-might-have the in paradise sorrowless
καὶ ἀνώδυνον καὶ ἀμέριμνον ζωὴν, πρὸς τῷ καὶ τῆς ἐν
and painless and carefree life besides the also of-the in
οὐρανοῖς ἀφθαρσίας αὐτοὺς τὴν ἐπαγγελίαν ἔχειν· εἰ δὲ
heavens incorruption them the promise to-have if but
παραβαῖεν καὶ στραφέντες γένοιντο φαῦλοι, γινώσκοιεν
they-should-transgress and having-turned should-become evil they-should-know
ἑαυτοὺς τὴν ἐν θανάτῳ κατὰ φύσιν φθορὰν ὑπομένειν,
themselves the in death according-to nature corruption to-undergo
καὶ μηκέτι μὲν ἐν παραδείσῳ ζῆν, ἔξω δὲ τούτου
and no-longer indeed in paradise to-live outside and of-it

λοιπὸν ἀποθνήσκοντας μένειν ἐν τῷ θανάτῳ καὶ ἐν τῇ
henceforth dying to-remain in the death and in the
φθορᾷ. Τοῦτο δὲ καὶ ἡ θεία γραφὴ προσημαίνει λέγουσα
corruption this and also the divine scripture foretells saying
ἐκ προσώπου τοῦ Θεοῦ· "ἀπὸ παντὸς ξύλου τοῦ ἐν
from (the)-person — of-God from every tree the in
τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ
the paradise by-eating you-shall-eat from but the tree of-the
γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ·
to-know good and evil not you-shall-eat from it
ᾗ δ' ἂν ἡμέρᾳ φάγησθε, θανάτῳ ἀποθανεῖσθε." τὸ δὲ
on-what but — day you-eat by-death you-shall-die the and
θανάτῳ ἀποθανεῖσθε, τί ἂν ἄλλο εἴη ἢ τὸ μὴ μόνον
by-death you-shall-die what — else would-it-be than the not only
ἀποθνήσκειν, ἀλλὰ καὶ ἐν τῇ τοῦ θανάτου φθορᾷ διαμένειν;
to-die but also in the of-the death corruption to-remain

III · THE FALL INTO CORRUPTION

The cause of the Incarnation was our transgression. Made from nothing and mortal by nature, man would have escaped corruption by likeness to God, but men turned away and fell under the death that had been threatened, sliding back toward non-existence. Then sin grew without measure: adultery, theft, murder, wars of city against city and nation against nation, and vices against nature.

4 Ἴσως θαυμάζεις τί δήποτε περὶ τῆς ἐνανθρωπήσεως τοῦ
perhaps you-wonder why ever about the becoming-man of-the
Λόγου προθέμενοι λέγειν, νῦν περὶ τῆς ἀρχῆς τῶν ἀνθρώπων
Word having-proposed to-speak now about the beginning of-the men
διηγούμεθα. ἀλλὰ καὶ τοῦτο οὐκ ἀλλότριόν ἐστι τοῦ σκοποῦ
we-relate but also this not foreign is to-the aim

τῆς διηγήσεως. Ἀνάγκη γὰρ ἡμᾶς λέγοντας περὶ τῆς εἰς
of-the account necessity for us speaking about the to
ἡμᾶς ἐπιφανείας τοῦ Σωτῆρος, λέγειν καὶ περὶ τῆς τῶν
us appearing of-the Savior to-speak also about the of-the
ἀνθρώπων ἀρχῆς, ἵνα γινώσκῃς ὅτι ἡ ἡμῶν αἰτία ἐκείνῳ
men beginning that you-may-know that the our cause to-him
γέγονε πρόφασις τῆς καθόδου, καὶ ἡ ἡμῶν παράβασις τοῦ
became occasion of-the descent and the our transgression of-the
Λόγου τὴν φιλανθρωπίαν ἐξεκαλέσατο, ὥστε καὶ εἰς ἡμᾶς
Word the love-for-man called-forth so-that both to us
φθάσαι καὶ φανῆναι τὸν Κύριον ἐν ἀνθρώποις. Τῆς γὰρ
to-come and to-appear the Lord among men of-the for
ἐκείνου ἐνσωματώσεως ἡμεῖς γεγόναμεν ὑπόθεσις, καὶ διὰ
his embodiment we have-become (the)-ground and because-of
τὴν ἡμῶν σωτηρίαν ἐφιλανθρωπεύσατο καὶ ἐν ἀνθρωπίνῳ
the our salvation he-showed-love-for-man both in (a)-human
γενέσθαι καὶ φανῆναι σώματι. Οὕτως μὲν οὖν ὁ Θεὸς
to-come-to-be and to-appear body thus indeed then — God
τὸν ἄνθρωπον πεποίηκε, καὶ μένειν ἠθέλησεν ἐν ἀφθαρσίᾳ·
the man has-made and to-remain willed in incorruption
ἄνθρωποι δὲ κατολιγωρήσαντες καὶ ἀποστραφέντες τὴν
men but having-despised and having-turned-from the
πρὸς τὸν Θεὸν κατανόησιν, λογισάμενοι δὲ καὶ ἐπινοήσαντες
toward — God contemplation having-reckoned but and having-contrived
ἑαυτοῖς τὴν κακίαν, ὥσπερ ἐν τοῖς πρώτοις ἐλέχθη, ἔσχον
for-themselves the wickedness as in the first(-things) it-was-said had
τὴν προαπειληθεῖσαν τοῦ θανάτου κατάκρισιν, καὶ λοιπὸν
the threatened-before of-the death condemnation and henceforth
οὐκ ἔτι, ὡς γεγόνασι, διέμενον· ἀλλ' ὡς ἐλογίζοντο,
no longer as they-had-been-made they-remained but as they-devised
διεφθείροντο· καὶ ὁ θάνατος αὐτῶν ἐκράτει βασιλεύων.
were-corrupted and the death over-them prevailed reigning

ἡ γὰρ παράβασις τῆς ἐντολῆς εἰς τὸ κατὰ φύσιν
the for transgression of-the commandment to the according-to nature
αὐτοὺς ἐπέστρεφεν, ἵνα ὥσπερ οὐκ ὄντες γεγόνασιν, οὕτως
them turned-back that as not being they-came-to-be thus
καὶ τὴν εἰς τὸ μὴ εἶναι φθορὰν ὑπομείνωσι τῷ χρόνῳ
also the unto the not to-be corruption they-might-undergo in-the time
εἰκότως. Εἰ γὰρ φύσιν ἔχοντες τὸ μὴ εἶναί ποτε, τῇ τοῦ
fittingly if for (a)-nature having the not to-be once by-the of-the
Λόγου παρουσίᾳ καὶ φιλανθρωπίᾳ εἰς τὸ εἶναι ἐκλήθησαν,
Word presence and love-for-man into the to-be they-were-called
ἀκόλουθον ἦν κενωθέντας τοὺς ἀνθρώπους τῆς περὶ
consequent it-was having-been-emptied the men of-the about
Θεοῦ ἐννοίας καὶ εἰς τὰ οὐκ ὄντα ἀποστραφέντας, οὐκ
God notion and to the not being(-things) having-turned not
ὄντα γάρ ἐστι τὰ κακὰ, ὄντα δὲ τὰ καλά, ἐπειδήπερ
being for are the evil(-things) being and the good(-things) since
ἀπὸ τοῦ ὄντος Θεοῦ γεγόνασι, κενωθῆναι καὶ τοῦ εἶναι
from the being God they-have-come-to-be to-be-emptied also of-the to-be
ἀεί. τοῦτο δέ ἐστι τὸ διαλυθέντας μένειν ἐν τῷ θανάτῳ
always this and is the having-been-dissolved to-remain in the death
καὶ τῇ φθορᾷ. Ἔστι μὲν γὰρ κατὰ φύσιν ἄνθρωπος
and the corruption is indeed for according-to nature man
θνητὸς, ἅτε δὴ ἐξ οὐκ ὄντων γεγονώς. διὰ
mortal inasmuch-as indeed from not being(-things) having-come-to-be because-of
δὲ τὴν πρὸς τὸν ὄντα ὁμοιότητα, ἣν εἰ ἐφύλαττε διὰ
but the toward the being(-one) likeness which if he-had-kept through
τῆς πρὸς αὐτὸν κατανοήσεως, ἤμβλυνεν ἂν τὴν κατὰ
the toward him contemplation would-have-blunted — the according-to
φύσιν φθορὰν, καὶ ἔμεινεν ἄφθαρτος· καθάπερ ἡ
nature corruption and would-have-remained incorruptible as the
σοφία φησίν· "προσοχὴ νόμων, βεβαίωσις ἀφθαρσίας·"
wisdom says heed of-laws (is)-assurance of-incorruption

ἄφθαρτος δὲ ὢν, ἔζη λοιπὸν ὡς Θεὸς, ὥς που καὶ
incorruptible and being he-would-live henceforth as God as somewhere also
ἡ θεία γραφὴ τοῦτο σημαίνει λέγουσα· "Ἐγὼ εἶπα θεοί
the divine scripture this signifies saying I said gods
ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι
you-are and sons of-(the)-most-high all you but as men
ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε."
die and as one of-the rulers fall
Ὁ μὲν γὰρ Θεὸς οὐ μόνον ἐξ οὐκ ὄντων ἡμᾶς 5
— indeed for God not only from not being(-things) us
πεποίηκεν, ἀλλὰ καὶ τὸ κατὰ Θεὸν ζῆν ἡμῖν ἐχαρίσατο
has-made but also the according-to God to-live to-us granted
τῇ τοῦ Λόγου χάριτι. οἱ δὲ ἄνθρωποι ἀποστραφέντες
by-the of-the Word grace the but men having-turned-from
τὰ αἰώνια, καὶ συμβουλίᾳ τοῦ διαβόλου εἰς τὰ τῆς
the eternal(-things) and by-(the)-counsel of-the devil to the(-things) of-the
φθορᾶς ἐπιστραφέντες, ἑαυτοῖς αἴτιοι τῆς ἐν τῷ θανάτῳ
corruption having-turned to-themselves causes of-the in the death
φθορᾶς γεγόνασιν, ὄντες μὲν ὡς προεῖπον κατὰ φύσιν
corruption have-become being indeed as I-said-before according-to nature
φθαρτοὶ, χάριτι δὲ τῆς τοῦ Λόγου μετουσίας τοῦ κατὰ
corruptible by-(the)-grace but of-the of-the Word participation the according-to
φύσιν ἐκφυγόντες, εἰ μεμενήκεισαν καλοί. Διὰ γὰρ τὸν
nature having-escaped if they-had-remained good because-of for the
συνόντα τούτοις Λόγον, καὶ ἡ κατὰ φύσιν φθορὰ τούτων
being-with them Word even the according-to nature corruption them
οὐκ ἤγγιζε, καθὼς καὶ ἡ σοφία φησίν· "ὁ Θεὸς ἔκτισε τὸν
not came-near as also the wisdom says — God created the
ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος·
man for incorruption and (an)-image of-the his-own eternity
φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον·"
by-envy but of-(the)-devil death entered into the world

τούτου δὲ γενομένου οἱ μὲν ἄνθρωποι ἀπέθνησκον, ἡ δὲ
this and having-happened the indeed men died the and
φθορὰ λοιπὸν κατ᾽ αὐτῶν ἤκμαζε, καὶ πλεῖον τοῦ κατὰ
corruption henceforth against them flourished and more than-the according-to
φύσιν ἰσχύουσα καθ᾽ ὅλου τοῦ γένους, ὅσῳ καὶ τὴν
nature prevailing over whole the race inasmuch-as also the
ἀπειλὴν τοῦ θείου διὰ τὴν παράβασιν τῆς ἐντολῆς κατ᾽
threat of-the divine because-of the transgression of-the commandment against
αὐτῶν προειλήφει. Καὶ γὰρ καὶ ἐν τοῖς πλημμελήμασιν
them it-had-taken-in-advance and for even in the offenses
οἱ ἄνθρωποι οὐκ ἄχρις ὅρων ὡρισμένων εἱστήκεισαν·
the men not up-to bounds set stood
ἀλλὰ κατ᾽ ὀλίγον ἐπεκτεινόμενοι, λοιπὸν καὶ εἰς ἄμετρον
but by little stretching-on at-last also to (the)-measureless
ἐληλύθασιν, ἐξ ἀρχῆς μὲν εὑρεταὶ τῆς κακίας γενόμενοι,
have-come from (the)-beginning indeed inventors of-the wickedness having-become
καὶ καθ᾽ ἑαυτῶν τὸν θάνατον προκαλεσάμενοι καὶ τὴν
and against themselves the death having-called-forth and the
φθοράν· ὕστερον δὲ εἰς ἀδικίαν ἐκτραπέντες καὶ παρανομίαν
corruption later and into injustice having-turned-aside and lawlessness
πᾶσαν ὑπερβάλοντες, καὶ μὴ ἑνὶ κακῷ ἱστάμενοι, ἀλλὰ
all having-exceeded and not at-one evil stopping but
πάντα καινὰ καινοῖς ἐπινοοῦντες, ἀκόρεστοι περὶ τὸ
all(-things) new on-new devising insatiable in the
ἁμαρτάνειν γεγόνασι. Μοιχεῖαι μὲν γὰρ ἦσαν καὶ κλοπαὶ
to-sin they-have-become adulteries indeed for there-were and thefts
πανταχοῦ, φόνων δὲ καὶ ἁρπαγῶν πλήρης ἦν ἡ σύμπασα
everywhere of-murders but and of-robberies full was the whole
γῆ. καὶ νόμου μὲν οὐκ ἦν φροντὶς περὶ φθορᾶς καὶ
earth and of-law indeed not there-was thought regarding corruption and
ἀδικίας· πάντα δὲ τὰ κακὰ καθ᾽ ἕνα καὶ κοινῇ παρὰ
injustice all and the evils by one and in-common by

πᾶσιν ἐπράττετο. Πόλεις μὲν κατὰ πόλεων ἐπολέμουν, καὶ
all were-done cities indeed against cities warred and
ἔθνη κατὰ ἐθνῶν ἠγείρετο· διῄρητο δὲ πᾶσα ἡ οἰκουμένη
nations against nations rose-up was-divided and all the inhabited-world
στάσεσι καὶ μάχαις, ἑκάστου φιλονεικοῦντος ἐν τῷ
by-factions and battles each vying in the
παρανομεῖν. Οὐκ ἦν δὲ τούτων μακρὰν οὐδὲ τὰ παρὰ
to-transgress not were and from-these far even the(-things) against
φύσιν, ἀλλ᾽ ὡς εἶπεν ὁ τοῦ Χριστοῦ μάρτυς Ἀπόστολος·
nature but as said the — of-Christ witness Apostle
“αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν
the both for females their exchanged the natural
χρῆσιν εἰς τὴν παρὰ φύσιν· ὁμοίως δὲ καὶ οἱ ἄῤῥενες,
use for the against nature likewise and also the males
ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν
having-left the natural use of-the female were-inflamed
ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄῤῥενες ἐν ἄρσεσι
in the appetite their toward one-another males with males
τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν ἣν
the unseemliness working and the recompense which
ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.”
was-due of-the error their in themselves receiving

It would be absurd for God's word that sinners die to prove false, yet unworthy of his goodness to let rational creatures perish by the devil's deceit. Repentance could not suffice, since it stops sinning but does not undo corruption. Only the Word who made all things could re-create them, suffer for all, and plead for all before the Father.

6 Διὰ δὴ ταῦτα πλεῖον τοῦ θανάτου κρατήσαντος,
because-of indeed these(-things) more the death having-prevailed
καὶ τῆς φθορᾶς παραμενούσης κατὰ τῶν ἀνθρώπων, τὸ
and the corruption remaining against the men the
μὲν τῶν ἀνθρώπων γένος ἐφθείρετο· ὁ δὲ λογικὸς καὶ
indeed of-the men race was-perishing the and rational and
κατ᾽ εἰκόνα γενόμενος ἄνθρωπος ἠφανίζετο· καὶ τὸ
according-to (the)-image made man was-disappearing and the
ὑπὸ τοῦ Θεοῦ γενόμενον ἔργον παραπώλλυτο. Καὶ γὰρ καὶ
by — God made work was-perishing and for also
ὁ θάνατος, ὡς προεῖπον, νόμῳ λοιπὸν ἴσχυε καθ᾽ ἡμῶν·
the death as I-said-before by-law henceforth prevailed against us
καὶ οὐχ οἷόν τε ἦν τὸν νόμον ἐκφυγεῖν, διὰ τὸ ὑπὸ
and not possible — it-was the law to-escape because-of the by
Θεοῦ τεθεῖσθαι τοῦτον τῆς παραβάσεως χάριν· καὶ
God to-have-been-laid-down this of-the transgression for-the-sake-of and
ἦν ἄτοπον ὁμοῦ καὶ ἀπρεπὲς τὸ γινόμενον ἀληθῶς.
it-was absurd at-once and unfitting the happening(-thing) truly
Ἄτοπον μὲν γὰρ ἦν εἰπόντα τὸν Θεὸν ψεύσασθαι, ὥστε
absurd indeed for it-was having-spoken — God to-lie so-that
νομοθετήσαντος αὐτοῦ θανάτῳ ἀποθνήσκειν τὸν ἄνθρωπον,
having-legislated him by-death to-die the man
εἰ παραβαίη τὴν ἐντολήν, μετὰ τὴν παράβασιν μὴ
if he-should-transgress the commandment after the transgression not

ἀποθνήσκειν, ἀλλὰ λύεσθαι τὸν τούτου λόγον. οὐκ ἀληθὴς
to-die but to-be-annulled the his word not true
γὰρ ἦν ὁ Θεὸς, εἰ εἰπόντος αὐτοῦ ἀποθνήσκειν ἡμᾶς,
for would-be — God if having-said him to-die us
μὴ ἀπέθνησκεν ὁ ἄνθρωπος. Ἀπρεπὲς δὲ ἦν πάλιν τὰ
not died the man unfitting and it-was again the
ἅπαξ γενόμενα λογικὰ καὶ τοῦ Λόγου αὐτοῦ μετασχόντα
once made rational and of-the Word his having-partaken
παραπόλλυσθαι, καὶ πάλιν εἰς τὸ μὴ εἶναι διὰ τῆς
to-perish and again into the not to-be through the
φθορᾶς ἐπιστρέφειν. Οὐκ ἄξιον γὰρ ἦν τῆς ἀγαθότητος
corruption to-turn-back not worthy for was of-the goodness
τοῦ Θεοῦ τὰ ὑπ᾽ αὐτοῦ γενόμενα διαφθείρεσθαι, διὰ
— of-God the(-things) by him made to-be-destroyed because-of
τὴν παρὰ τοῦ διαβόλου γενομένην τοῖς ἀνθρώποις ἀπάτην.
the from the devil happened to-the men deceit
Ἄλλως τε καὶ τῶν ἀπρεπεστάτων ἦν τὴν τοῦ Θεοῦ
besides — also of-the most-unfitting(-things) it-was the — of-God
τέχνην ἐν τοῖς ἀνθρώποις ἀφανίζεσθαι ἢ διὰ τὴν
art among the men to-disappear either because-of the
αὐτῶν ἀμέλειαν, ἢ διὰ τὴν τῶν δαιμόνων ἀπάτην.
their neglect or because-of the of-the demons deceit
Φθειρομένων τοίνυν τῶν λογικῶν καὶ παραπολλυμένων
perishing therefore the rational(-beings) and being-lost
τῶν τοιούτων ἔργων, τί τὸν Θεὸν ἔδει ποιεῖν ἀγαθὸν
the such works what — God ought to-do good
ὄντα; ἀφεῖναι τὴν φθορὰν κατ᾽ αὐτῶν ἰσχύειν, καὶ τὸν
being to-allow the corruption against them to-prevail and the
θάνατον αὐτῶν κρατεῖν; καὶ τίς ἡ χρεία τοῦ καὶ ἐξ
death over-them to-prevail and what the need of-the even from
ἀρχῆς αὐτὰ γενέσθαι; ἔδει γὰρ μὴ γενέσθαι, ἢ
(the)-beginning them to-have-been-made it-was-needful for not to-be-made or

γενόμενα παραμεληθῆναι καὶ ἀπολέσθαι. Ἀσθένεια γὰρ
having-been-made to-be-neglected and to-perish weakness for
μᾶλλον καὶ οὐκ ἀγαθότης ἐκ τῆς ἀμελείας γινώσκεται
rather and not goodness from the neglect is-known
τοῦ Θεοῦ, εἰ ποιήσας παρορᾷ φθαρῆναι τὸ ἑαυτοῦ ἔργον,
— of-God if having-made he-overlooks to-be-corrupted the his-own work
ἢπερ εἰ μὴ πεποιήκει κατὰ τὴν ἀρχὴν τὸν ἄνθρωπον.
than if not he-had-made in the beginning the man
Μὴ ποιήσαντος μὲν γὰρ οὐκ ἦν ὁ λογιζόμενος
not having-made indeed for not there-was the(-one) reckoning
τὴν ἀσθένειαν, ποιήσαντος δὲ καὶ εἰς τὸ εἶναι κτίσαντος,
the weakness having-made but and into the to-be having-created
ἀτοπώτατον ἦν ἀπόλλυσθαι τὰ ἔργα, καὶ μάλιστα
most-absurd it-was to-perish the works and especially
ἐπ᾽ ὄψει τοῦ πεποιηκότος. Οὐκοῦν ἔδει τοὺς
in sight of-the(-one) having-made therefore it-was-needful the
ἀνθρώπους μὴ ἀφιέναι φέρεσθαι τῇ φθορᾷ, διὰ τὸ
men not to-allow to-be-carried-off by-the corruption because-of the
ἀπρεπὲς καὶ ἀνάξιον εἶναι τοῦτο τῆς τοῦ Θεοῦ ἀγαθότητος.
unfitting and unworthy to-be this of-the — of-God goodness
7 Ἀλλ᾽ ὥσπερ ἔδει τοῦτο γενέσθαι, οὕτως καὶ ἐκ τῶν
but as it-was-needful this to-happen thus also from the
ἐναντίων πάλιν ἀντίκειται τὸ πρὸς τὸν Θεὸν εὔλογον,
contrary again stands-opposed the toward — God reasonable
ὥστε ἀληθῆ φανῆναι τὸν Θεὸν ἐν τῇ περὶ τοῦ θανάτου
so-that true to-appear — God in the about the death
νομοθεσίᾳ· ἄτοπον γὰρ ἦν διὰ τὴν ἡμῶν ὠφέλειαν
legislation absurd for it-was because-of the our benefit
καὶ διαμονὴν ψεύστην φανῆναι τὸν τῆς ἀληθείας Πατέρα
and continuance (a)-liar to-appear the of-the truth Father
Θεόν. Τί οὖν ἔδει καὶ περὶ τούτου γενέσθαι ἢ ποιῆσαι
God what then was-needful also about this to-happen or to-do

τὸν Θεόν; μετάνοιαν ἐπὶ τῇ παραβάσει τοὺς ἀνθρώπους
— God repentance for the transgression the men
ἀπαιτῆσαι; τοῦτο γὰρ ἄν τις ἄξιον φήσειε Θεοῦ, λέγων, ὅτι
to-demand this for — one worthy might-say of-God saying that
ὥσπερ ἐκ τῆς παραβάσεως εἰς φθορὰν γεγόνασιν, οὕτως
as from the transgression into corruption they-have-come thus
ἐκ τῆς μετανοίας γένοιντο πάλιν ἂν εἰς ἀφθαρσίαν. Ἀλλ᾽
from the repentance they-might-come again — into incorruption but
ἡ μετάνοια οὔτε τὸ εὔλογον τὸ πρὸς τὸν Θεὸν ἐφύλαττεν·
the repentance neither the reasonable the toward — God would-guard
ἔμενε γὰρ πάλιν οὐκ ἀληθὴς, μὴ κρατουμένων ἐν
he-would-remain for again not true not held in
τῷ θανάτῳ τῶν ἀνθρώπων· οὔτε δὲ ἡ μετάνοια ἀπὸ
the death the men nor and the repentance from
τῶν κατὰ φύσιν ἀνακαλεῖται, ἀλλὰ μόνον παύει τῶν
the according-to nature recalls but only stops from-the
ἁμαρτημάτων. Εἰ μὲν οὖν μόνον ἦν πλημμέλημα καὶ
sins if indeed then only there-were (a)-trespass and
μὴ φθορᾶς ἐπακολούθησις, καλῶς ἂν ἦν ἡ μετάνοια.
not of-corruption (a)-consequence well — would-be the repentance
εἰ δὲ ἅπαξ προλαβούσης τῆς παραβάσεως, εἰς τὴν κατὰ
if but once having-gone-before the transgression in the according-to
φύσιν φθορὰν ἐκρατοῦντο οἱ ἄνθρωποι, καὶ τὴν τοῦ
nature corruption were-held the men and the of-the
κατ᾽ εἰκόνα χάριν ἀφαιρεθέντες ἦσαν, τί ἄλλο ἔδει
according-to (the)-image grace deprived(-of) were what else was-needful
γενέσθαι; ἢ τίνος ἦν χρεία πρὸς τὴν τοιαύτην χάριν καὶ
to-happen or of-what was need for the such grace and
ἀνάκλησιν, ἢ τοῦ καὶ κατὰ τὴν ἀρχὴν ἐκ τοῦ μὴ
recall than of-the(-one) also in the beginning from the not
ὄντος πεποιηκότος τὰ ὅλα τοῦ Θεοῦ Λόγου; Αὐτοῦ γὰρ
being having-made the whole of-the God Word his for

ἦν πάλιν καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν ἐνεγκεῖν, καὶ τὸ
it-was again both the corruptible into incorruption to-bring and the
ὑπὲρ πάντων εὔλογον ἀποσῶσαι πρὸς τὸν Πατέρα. Λόγος
for all reasonable to-preserve toward the Father Word
γὰρ ὢν τοῦ Πατρὸς καὶ ὑπὲρ πάντας ὤν, ἀκολούθως καὶ
for being of-the Father and above all being consequently both
ἀνακτίσαι τὰ ὅλα μόνος ἦν δυνατὸς καὶ ὑπὲρ πάντων παθεῖν
to-re-create the whole alone was able and for all to-suffer
καὶ πρεσβεῦσαι περὶ πάντων ἱκανὸς πρὸς τὸν Πατέρα.
and to-intercede for all sufficient with the Father

V · THE WORD TAKES A BODY

The Word, never far off, takes a body from a virgin, makes it his temple, and, since as Word he cannot die, gives that mortal body to death for all, so that the law of corruption is spent in it and men are raised by the grace of the resurrection. As a city is safe from bandits when a king lives in one of its houses, the race is safe because he dwells in one body. His inspired writers bear witness to it.

8 Τούτου δὴ ἕνεκεν ὁ ἀσώματος καὶ ἄφθαρτος καὶ
of-this indeed for-the-sake the bodiless and incorruptible and
ἄϋλος τοῦ Θεοῦ Λόγος παραγίνεται εἰς τὴν ἡμετέραν
immaterial — of-God Word comes into the our
χώραν, οὔτι γε μακρὰν ὢν πρότερον. οὐδὲν γὰρ
region not at-least far being formerly no for
αὐτοῦ κενὸν ὑπολέλειπται τῆς κτίσεως μέρος· πάντα
of-him empty has-been-left of-the creation part all(-things)
δὲ διὰ πάντων πεπλήρωκεν αὐτὸς συνὼν τῷ ἑαυτοῦ
but through all(-things) he-has-filled himself being-with the his-own
Πατρί. ἀλλὰ παραγίνεται συγκαταβαίνων τῇ εἰς
Father but he-comes condescending in-the toward

ἡμᾶς αὐτοῦ φιλανθρωπίᾳ καὶ ἐπιφανείᾳ. Καὶ ἰδὼν τὸ
us his love-for-man and appearing and having-seen the
λογικὸν ἀπολλύμενον γένος, καὶ τὸν θάνατον κατ᾽ αὐτῶν
rational perishing race and the death over them
βασιλεύοντα τῇ φθορᾷ· ὁρῶν δὲ καὶ τὴν ἀπειλὴν τῆς
reigning by-the corruption seeing and also the threat of-the
παραβάσεως διακρατοῦσαν τὴν καθ᾽ ἡμῶν φθοράν· καὶ
transgression holding-fast the against us corruption and
ὅτι ἄτοπον ἦν πρὸ τοῦ πληρωθῆναι τὸν νόμον λυθῆναι·
that absurd it-was before the to-be-fulfilled the law to-be-annulled
ὁρῶν δὲ καὶ τὸ ἀπρεπὲς ἐν τῷ συμβεβηκότι, ὅτι ὢν
seeing and also the unfitting in the (thing)-happened that of-what(-things)
αὐτὸς ἦν δημιουργὸς, ταῦτα παρηφανίζετο· ὁρῶν δὲ
he-himself was creator these were-vanishing seeing and
καὶ τὴν τῶν ἀνθρώπων ὑπερβάλλουσαν κακίαν, ὅτι κατ᾽
also the of-the men exceeding wickedness that by
ὀλίγον καὶ ἀφόρητον αὐτὴν ηὔξησαν καθ᾽ ἑαυτῶν· ὁρῶν
little even unbearable it they-increased against themselves seeing
δὲ καὶ τὸ ὑπεύθυνον πάντων τῶν ἀνθρώπων πρὸς τὸν
and also the liability of-all the men to the
θάνατον· ἐλεήσας τὸ γένος ἡμῶν, καὶ τὴν ἀσθένειαν ἡμῶν
death having-pitied the race our and the weakness our
οἰκτειρήσας, καὶ τῇ φθορᾷ ἡμῶν συγκαταβάς, καὶ τὴν
having-had-compassion and to-the corruption our having-condescended and the
τοῦ θανάτου κράτησιν οὐκ ἐνεγκών, ἵνα μὴ τὸ γενόμενον
of-the death mastery not having-borne that not the (thing)-made
ἀπόληται καὶ εἰς ἀργὸν τοῦ Πατρὸς τὸ εἰς ἀνθρώπους
might-perish and in vain of-the Father the toward men
ἔργον αὐτοῦ γένηται, λαμβάνει ἑαυτῷ σῶμα, καὶ τοῦτο
work his might-come he-takes to-himself (a)-body and this
οὐκ ἀλλότριον τοῦ ἡμετέρου. Οὐ γὰρ ἁπλῶς ἠθέλησεν ἐν
not alien from-the ours not for simply he-willed in

σώματι γενέσθαι, οὐδὲ μόνον ἤθελε φανῆναι· ἐδύνατο γὰρ,
(a)-body to-be nor only he-wished to-appear he-was-able for
εἰ μόνον ἤθελε φανῆναι, καὶ δι' ἑτέρου κρείττονος τὴν
if only he-wished to-appear even through another better the
θεοφάνειαν αὐτοῦ ποιήσασθαι· ἀλλὰ λαμβάνει τὸ ἡμέτερον,
theophany his to-make but he-takes the ours
καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἐξ ἀχράντου καὶ ἀμιάντου
and this not simply but from (a)-spotless and undefiled
ἀνδρὸς ἀπείρου παρθένου, καθαρὸν καὶ ὄντως ἀμιγὲς τῆς
of-man inexperienced virgin pure and truly unmixed with-the
ἀνδρῶν συνουσίας. αὐτὸς γὰρ δυνατὸς ὢν καὶ δημιουργὸς
of-men intercourse he-himself for mighty being and creator
τῶν ὅλων, ἐν τῇ Παρθένῳ κατασκευάζει ἑαυτῷ ναὸν τὸ
of-the whole in the Virgin prepares for-himself (a)-temple the
σῶμα, καὶ ἰδιοποιεῖται τοῦτο ὥσπερ ὄργανον, ἐν αὐτῷ
body and makes-his-own it as (an)-instrument in it
γνωριζόμενος καὶ ἐνοικῶν. Καὶ οὕτως ἀπὸ τῶν ἡμετέρων τὸ
being-made-known and dwelling and thus from the ours the
ὅμοιον λαβών, διὰ τὸ πάντας ὑπευθύνους εἶναι τῇ τοῦ
like having-taken because-of the all liable to-be to-the of-the
θανάτου φθορᾷ, ἀντὶ πάντων αὐτὸ θανάτῳ παραδιδοὺς,
death corruption instead-of all it to-death delivering
προσῆγε τῷ Πατρί, καὶ τοῦτο φιλανθρώπως ποιῶν, ἵνα ὡς
offered(-it) to-the Father and this lovingly doing that as
μὲν πάντων ἀποθανόντων ἐν αὐτῷ λυθῇ ὁ κατὰ
indeed all having-died in him might-be-annulled the concerning
τῆς φθορᾶς τῶν ἀνθρώπων νόμος (ἅτε δὴ πληρωθείσης
the corruption of-the men law inasmuch-as indeed having-been-fulfilled
τῆς ἐξουσίας ἐν τῷ κυριακῷ σώματι, καὶ μηκέτι χώραν
the authority in the Lord's body and no-longer room
ἔχοντος κατὰ τῶν ὁμοίων ἀνθρώπων)· ὡς δὲ εἰς φθορὰν
having against the like men as and to corruption

ἀναστρέψαντας τοὺς ἀνθρώπους πάλιν εἰς τὴν ἀφθαρσίαν
having-turned-back the men again to the incorruption
ἐπιστρέψῃ, καὶ ζωοποιήσῃ τούτους ἀπὸ τοῦ θανάτου, τῇ
he-might-turn and might-quicken them from the death by-the
τοῦ σώματος ἰδιοποιήσει, καὶ τῇ τῆς ἀναστάσεως χάριτι,
of-the body appropriation and by-the of-the resurrection grace
τὸν θάνατον ἀπ᾽ αὐτῶν ὡς καλάμην ἀπὸ πυρὸς ἐξαφανίζων.
the death from them as stubble from fire making-vanish
Συνιδὼν γὰρ ὁ Λόγος ὅτι ἄλλως οὐκ ἂν λυθείη τῶν 9
having-perceived for the Word that otherwise not — could-be-undone of-the
ἀνθρώπων ἡ φθορὰ, εἰ μὴ διὰ τοῦ πάντως ἀποθανεῖν,
men the corruption if not through the surely to-die
οὐχ οἷόν τε δὲ ἦν τὸν Λόγον ἀποθανεῖν ἀθάνατον
not able — but it-was the Word to-die immortal
ὄντα καὶ τοῦ Πατρὸς Υἱόν, τούτου ἕνεκεν τὸ δυνάμενον
being and of-the Father Son of-this for-the-sake the able
ἀποθανεῖν ἑαυτῷ λαμβάνει σῶμα, ἵνα τοῦτο τοῦ ἐπὶ
to-die for-himself takes (a)-body that this of-the over
πάντων Λόγου μεταλαβὸν ἀντὶ πάντων ἱκανὸν γένηται
all Word having-partaken instead-of all sufficient might-become
τῷ θανάτῳ, καὶ διὰ τὸν ἐνοικήσαντα Λόγον, ἄφθαρτον
for-the death and because-of the having-indwelt Word incorruptible
διαμείνῃ, καὶ λοιπὸν ἀπὸ πάντων ἡ φθορὰ παύσηται
might-remain and henceforth from all the corruption might-cease
τῇ τῆς ἀναστάσεως χάριτι. ὅθεν ὡς ἱερεῖον καὶ θῦμα
by-the of-the resurrection grace whence as (a)-victim and sacrifice
παντὸς ἐλεύθερον σπίλου, ὃ αὐτὸς ἑαυτῷ ἔλαβε σῶμα
of-every free spot which he-himself for-himself took body
προσάγων εἰς θάνατον, ἀπὸ πάντων εὐθὺς τῶν ὁμοίων
offering to death from all at-once the like
ἠφάνιζε τὸν θάνατον τῇ προσφορᾷ τοῦ καταλλήλου.
he-made-vanish the death by-the offering of-the corresponding

Ὑπὲρ πάντας γὰρ ὢν ὁ Λόγος τοῦ Θεοῦ εἰκότως
over all for being the Word — of-God fittingly
τὸν ἑαυτοῦ ναὸν καὶ τὸ σωματικὸν ὄργανον προσάγων
the his-own temple and the bodily instrument offering
ἀντίψυχον ὑπὲρ πάντων, ἐπλήρου τὸ ὀφειλόμενον ἐν τῷ
(as)-ransom for all he-fulfilled the owed(-debt) in the
θανάτῳ· καὶ οὕτως συνὼν διὰ τοῦ ὁμοίου τοῖς πᾶσιν ὁ
death and thus being-with through the like the all the
ἄφθαρτος τοῦ Θεοῦ Υἱὸς, εἰκότως τοὺς πάντας ἐνέδυσεν
incorruptible — of-God Son fittingly the all clothed-with
ἀφθαρσίαν ἐν τῇ περὶ τῆς ἀναστάσεως ἐπαγγελίᾳ. καὶ
incorruption in the about the resurrection promise and
αὐτὴ γὰρ ἡ ἐν τῷ θανάτῳ φθορὰ κατὰ τῶν ἀνθρώπων
itself for the in the death corruption against the men
οὐκέτι χώραν ἔχει διὰ τὸν ἐνοικήσαντα Λόγον ἐν
no-longer room has because-of the having-indwelt Word in
τούτοις διὰ τοῦ ἑνός σώματος. Καὶ ὥσπερ μεγάλου
them through the one body and as (a)-great
βασιλέως εἰσελθόντος εἴς τινα πόλιν μεγάλην, καὶ
king having-entered into a-certain city great and
οἰκήσαντος εἰς μίαν τῶν ἐν αὐτῇ οἰκιῶν, πάντως ἡ
having-dwelt in one of-the in it houses surely the
τοιαύτη πόλις τιμῆς πολλῆς καταξιοῦται, καὶ οὐκέτι τις
such city of-honor much is-deemed-worthy and no-longer any
ἐχθρὸς αὐτὴν οὔτε λῃστὴς ἐπιβαίνων καταστρέφει, πάσης
enemy it nor bandit invading overturns of-all
δὲ μᾶλλον ἐπιμελείας ἀξιοῦται διὰ τὸν εἰς μίαν αὐτῆς
but rather care is-deemed-worthy because-of the in one of-it
οἰκίαν οἰκήσαντα βασιλέα· οὕτως καὶ ἐπὶ τοῦ πάντων
house having-dwelt king thus also regarding the of-all
Βασιλέως γέγονεν. Ἐλθόντος γὰρ αὐτοῦ ἐπὶ τὴν ἡμετέραν
King it-has-happened having-come for him into the our

χώραν, καὶ οἰκήσαντος εἰς ἓν τῶν ὁμοίων σῶμα, λοιπὸν
region and having-dwelt in one of-the like body henceforth
πᾶσα ἡ κατὰ τῶν ἀνθρώπων παρὰ τῶν ἐχθρῶν ἐπιβουλὴ
all the against the men from the enemies plotting
πέπαυται, καὶ ἡ τοῦ θανάτου ἠφάνισται φθορὰ ἡ πάλαι
has-ceased and the of-the death has-vanished corruption the formerly
κατ᾽ αὐτῶν ἰσχύουσα. παραπωλώλει γὰρ ἂν τὸ τῶν
against them prevailing would-have-perished for — the of-the
ἀνθρώπων γένος, εἰ μὴ ὁ πάντων δεσπότης καὶ Σωτὴρ
